medium eſt, atque optimum : id quod eſt ipſius virtutis. Simili modo circa actiones eſt exceſſus & defectus & medium. at virtus circa affectus actionéſque verſatur: in quibus exceſſus peccat, defectus vituperatur, medium verò & laudem & rectam exequutionem conſequitur. Hæc autem vtraque ad virtutem pertinent. mediocritas igitur quædam virtus erit, cùm medij ipſius coniectrix, collimatrixque ſit. Præterea peccare multis modis poſſumus: malum enim eſt infiniti, vt Pythagorici coniectabant, bonum autem finiti: rectè agere vno verò modo tantum licet. atque idcirco illud facile, hoc difficile eſt : facile ſiquidem eſt à ſcopo aberrare, ſicut ipſum attingere difficile. ob id igitur exceſſus & defectus vitij eſt, virtutis mediocritas. nam,

Simpliciter bonus eſt, ſed malus omnimodè.

CAPVT VI.

Virtus igitur eſt habitus electiuus in mediocritate, quantum ad nos, conſiſtens : quæ quidem mediocritas ratione præfinita ſit: atque ita, vt prudens præfiniret: mediocritas autem duorum vitiorum, alterius per exceſſum, alterius per defectum. atque eo etiam quòd vitia alia deficiunt ab eo quod fieri debet, alia exuperant & in affectibus & in actionibus : virtus verò medium & inuenit, & eligit. Quapropter ſubſtantia quidem & ratione, quę quid ſit res exponit, mediocritas : quantum ad optimum autem ſpectat, & quod bene ſe habet : extremitas virtus eſt. Neque tamen omnis actio, omníſque affectus mediocritatem admittit. nonnulli enim ſunt affectus, qui ſtatim vel ipſo nomine cum prauitate implicantur: vt maleuolentia, impudentia, & inuidia : & item actiones, vt adulterium, furtum, homicidium. omnia enim hæc & huiuſcemodi ita appellantur, quia non exceſſus ipſorum aut defectus, ſed ipſa mala ſunt: vt nullo modo poſſit quiſpiam in ipſis rectè agere, ſed peccare ſemper neceſſe ſit : neque bene, aut non bene ſe gerat, dum quatenus & quando, & quomodo oportet, adulterium committit: ſed dum abſolutè vnumquodque horum facit, continuò peccet. Perinde igitur eſt, ac ſi quis iniuſtè, ignauè, intemperantérque agenſdo ponendam eſſe mediocritatem, exceſſúmque & defectum cenſeat : nam hoc modo exuperationis & defectionis mediocritas, exuperationis item exuperatio, & defectionis defectio inueniretur.

A μέσον τε καὶ ἄριστον, ὅπερ ἐστὶ τῆς ἀρετῆς. ὁμοίως δὲ καὶ περὶ τὰς πράξεις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις, καὶ τὸ μέσον. ἡ δὲ ἀρετὴ, περὶ πάθη καὶ πράξεις ἐστίν· ἐν οἷς, ἡ μὲν ὑπερβολὴ ἁμαρτάνεται, καὶ ἡ ἔλλειψις ψέγεται, τὸ δὲ μέσον ἐπαινεῖται καὶ κατορθοῦται· ταῦτα δὲ ἄμφω, τῆς ἀρετῆς. μεσότης τις ἄρα ἐστὶν ἡ ἀρετὴ, στοχαστική γε οὖσα τοῦ μέσου. ἔτι, τὸ μὲν

B ἁμαρτάνειν, πολλαχῶς ἐστί· τὸ γὰρ κακὸν, τοῦ ἀπείρου, ὡς οἱ Πυθαγόρειοι εἴκαζον· τὸ δὲ ἀγαθὸν, τοῦ πεπερασμένου. τὸ δὲ κατορθοῦν, μοναχῶς· διὸ καὶ τὸ μὲν ῥᾴδιον, τὸ δὲ χαλεπόν· ῥᾴδιον μὲν, τὸ ἀποτυχεῖν τοῦ σκοποῦ· χαλεπὸν δὲ, τὸ ἐπιτυχεῖν. καὶ διὰ ταῦτ᾽ οὖν, τῆς μὲν κακίας, ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις· τῆς δὲ ἀρετῆς, ἡ μεσότης.

Ἐσθλοὶ μὲν γὰρ ἁπλῶς, παντοδαπῶς δὲ κακοί.

C

Κεφάλαιον ϛ.

Ἔστιν ἄρα ἡ ἀρετὴ ἕξις προαιρετικὴ, ἐν μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς, ὡρισμένῃ λόγῳ, καὶ ὡς ἂν ὁ φρόνιμος ὁρίσειε. μεσότης δὲ, δύο κακιῶν· τῆς μὲν, καθ᾽ ὑπερβολήν· τῆς δὲ, κατ᾽ ἔλλειψιν. καὶ ἔτι τῷ τὰς μὲν, ἐλλείπειν· τὰς δὲ, ὑπερβάλλειν τοῦ δέοντος, ἔν τε τοῖς πάθεσι, καὶ ἐν ταῖς πράξεσι·

D τὴν δὲ ἀρετὴν τὸ μέσον καὶ εὑρίσκειν καὶ αἱρεῖσθαι. διὸ, κατὰ μὲν τὴν οὐσίαν καὶ τὸν λόγον τὸν τί ἦν εἶναι λέγοντα, μεσότης ἐστὶν ἡ ἀρετή· κατὰ δὲ τὸ ἄριστον καὶ τὸ εὖ, ἀκρότης. οὐ πᾶσα δὲ ἐπιδέχεται πρᾶξις, οὐδὲ πᾶν πάθος, τὴν μεσότητα· ἔνια γὰρ εὐθὺς ὠνόμασται συνειλημμένα μετὰ τῆς φαυλότητος· οἷον ἐπιχαιρεκακία, ἀναισχυντία, φθόνος· καὶ ἐπὶ τῶν

E πράξεων, μοιχεία, κλοπή, ἀνδροφονία· πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα, λέγεται τῷ αὐτὰ φαῦλα εἶναι, ἀλλ᾽ οὐχ αἱ ὑπερβολαὶ αὐτῶν, οὐδὲ αἱ ἐλλείψεις. οὐκ ἔστιν οὖν οὐδέποτε περὶ αὐτὰ κατορθοῦν, ἀλλ᾽ ἀεὶ ἁμαρτάνειν· οὐδ᾽ ἔστι τὸ εὖ, ἢ μὴ εὖ, περὶ τὰ τοιαῦτα, ἐν τῷ ἣν δεῖ, καὶ ὅτε, καὶ ὡς μοιχεύειν· ἀλλ᾽ ἁπλῶς τὸ ποιεῖν ὁτιοῦν τούτων, ἁμαρτάνειν

F ἐστίν. ὅμοιον οὖν τὸ ἀξιοῦν καὶ περὶ τὸ ἀδικεῖν, καὶ δειλαίνειν, καὶ ἀκολασταίνειν εἶναι μεσότητα, καὶ ὑπερβολὴν καὶ ἔλλειψιν· ἔσται γὰρ οὕτω γε, ὑπερβολῆς καὶ ἐλλείψεως μεσότης, καὶ ὑπερβολῆς ὑπερβολὴ, καὶ ἔλλειψις ἐλλείψεως. ὥσπερ δὲ

σωφρο-